# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΝΕΟΜΑΡΤΥΡΟΣ ΑΡΓΥΡΗΣ ΤΗΣ ΕΝ ΠΙΚΡΙΔΙΩ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΨΑΛΛΟΜΕΝΗ ΤΗΝ ΤΡΙΑΚΟΣΤΗΝ ΤΟΥ ΜΗΝΟΣ ΑΠΡΙΛΙΟΥ

*Τῇ Πέμπτῃ μετά τῶν Μυροφόρων*

*Εἰς τὸν Ὄρθρον*

*Μετὰ τὸν Ἑξάψαλμον,...*

*Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις*

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

*Ἦχος β΄.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ, α΄.* Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Στίχ,β΄.* Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Στίχ, γ΄.* Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Ἀπολυτίκια*

*Ἀπολυτίκιον Ἦχος β΄*

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Ἦχος β΄*

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι

Δόξα Πατρὶ...

*Τῆς Ἁγίας. Ἦχος δ΄.*

*Ταχὺ προκατάλαβε.*

Τυράννους κατήσχυνας ἐν ταῖς βασάνοις, σεμνή δειχθεῖσα, πολύαθλε, ὥσπερ ἀδάμας στερρός, Χριστοῦ μάρτυς ἔνδοξε, ἔδειξας ἐναθλοῦσα πρός Χριστόν τόν Σωτῆρα, ἔρωτά τε καί ζῆλον και ἀκόρεστον πόθον· δι' ὅ σε, Ἀργυρῆ, αὐτός ἀξίως ἐδόξασε.

Καὶ νῦν...

*Ἀπολυτίκιον τῆς Ἑορτῆς*

*Ἦχος β΄*

Ταῖς μυροφόροις Γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Μετά τήν α΄. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α΄. Τόν τάφον σοῦ Σωτήρ*

Ἀμνάς ὡς λογική τῷ ἀμνῷ καί ποιμένι προήχθης εὐθαρσῶς διά τοῦ μαρτυρίου, τόν δρόμον τελέσασα καί τήν πίστιν τηρήσασα· ὅθεν σήμερον μετά χαρᾶς προσκυνοῦμεν, Ἀργυρῆ σεμνή, το χαριτόβρυτον ὄντως καί ἔνδοξον σκῆνός σου.

Δόξα...Καὶ νῦν... Τῆς ἑορτῆς

Μετά τήν α' Στιχολογίαν. Κάθισμα τῆς Ἑορτῆς. Ἦχος β'.

Τὰ μύρα τῆς ταφῆς σου, αἱ γυναῖκες κομίσασαι, λαθραίως πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι τῶν Ἰουδαίων δειλιῶσαι τὴν αὐθάδειαν, καὶ στρατιωτῶν προορῶσαι τὴν ἀσφάλειαν· ἀλλὰ φύσις ἀσθενὴς τὴν ἀνδρείαν ἐνίκησεν, ὅτι γνώμη συμπαθής, τῷ Θεῷ εὐηρέστησε· προσφόρως οὖν ἐκραύγαζον· Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τοῦ ὀνόματός σου.

Μετά τήν β'. Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α'. Τόν συνάναρχον λόγον.

Ἀργυρῆς τῆς πανσέπτου ἀνευφημήσωμεν τάς βασάνους, τους ἄθλους καί τά παλαίσματα, ἅ ὑπέστη καρτερῶς διά τόν Κύριον, καὶ καρδίᾳ καί ψυχῇ πιστῶς βοήσωμεν αὐτῇ: πανθαύμαστε ἀθληφόρε, ὡς εὐσεβείας τό δεῖγμα ἡμῶν τήν πίστιν λιταῖς σου στήριξον.

Δόξα...Καὶ νῦν... Τῆς ἑορτῆς

Μετά τήν β' Στιχολογίαν. Κάθισμα τῆς Ἑορτῆς. Ἦχος β'.Τὰ ἄνω ζητῶν..

Τὰ μύρα Σωτὴρ Γυναῖκες προσκομίζουσαι ἐζήτουν σπουδῇ, μυρίσαι σε φιλάνθρωπε, ἐκ τοῦ τάφου δὲ Ἄγγελος, πρὸς αὐτὰς ἐβόα· Ἐγήγερται ὁ ζωοδότης καὶ Κύριος, πατήσας τὸν ᾍδην καὶ τὸν θάνατον.

Μετᾶ τὸν Πολυέλεον

Κάθισμα τῆς ἑορτῆς. Ἦχος β'. Εὐσπλαγχνίας ὑπάρχουσα..

Πρὸς τὸ μνῆμα σου σῶτερ, αἱ σεπταὶ μυροφόροι ἐλθοῦσαι, τὸν δεσπότην ἀλείψασθαι μύροις, ὡς βροτόν σε κατηπείγοντο ἄγγελος δὲ αὐταῖς χαρὰν ἐμήνυσεν·ἀνέστη ὁ Κύριος, δι' ὃ κηρύξατε ἀποστόλοις, τὴν ἐκ τάφου ὄντως φρικτὴν τούτου ἐξανάστασιν.

Δόξα...Καὶ νῦν... Τὸ αὐτὸ

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ψαλμὸς ριγ' 113

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.(δίς)

Στίχ. Καί ἔστησεν ἐπί πέτρας τούς πόδας μου καί κατηύθυνε τὰ διαβήματά μου..

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ...

Ἦχος β΄

Ταῖς τοῦ Ἀποστόλου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Ἀθληφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον.

Ἦχος β΄.

Ἱκετεύουσα Χριστόν, μή διαλίπεις, Ἀργυρῆ ἀθληφόρε, ρύσασθαι δεινῶν καί παντοίων πειρασμῶν τούς σέ γεραίροντας.

*Σῶσον ὁ Θεός τόν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ΄)

*Ἐλέει καί οἰκτιρμοῖς...*

ΚΑΝΟΝΕΣ

Ὁ Κανὼν τῆς Ἑορτῆς.

Ὠδὴ α΄, τῶν Μυροφόρων

Ἦχος β΄. Ὁ Εἱρμὸς

Τὴν Μωσέως ᾠδήν, ἀναλαβοῦσα βόησον ψυχή. Βοηθὸς καὶ σκεπαστής, ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν».

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐσταυρώθης σαρκί, ὁ ἀπαθὴς τῇ φύσει τοῦ Πατρός, ἐκεντήθης τὴν πλευράν, πηγάσας κόσμῳ αἷμα καὶ ὕδωρ. Σὺ ἡμῶν Θεός, καὶ δοξάζομέν σε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν Σταυρόν σου τιμῶ, καὶ τὴν Ταφὴν δοξάζω ἀγαθέ, καὶ ὑμνῶ καὶ προσκυνῶ τὴν Ἔγερσίν σου, καὶ ἀνακράζω· Σὺ ἡμῶν Θεός, καὶ δοξάζομέν σε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Τὴν ἀρχαίαν ἀράν, ἐν γαστρί σου λύσασα Σεμνή, ἀνεβλάστησας ἡμῖν, τὴν εὐλογίαν, βρέφος τεκοῦσα· οὗτος γὰρ Θεός, εἰ καὶ σάρκα φορεῖ.

*καί τῆς ἁγίας εἰς δ΄.*

Ὠδή α΄.

Ἦχος δ΄. Θαλάσσης τό Ἐρυθραῖον.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ταῖς θείαις τῶν Ἀθληφόρων τάξεσιν ἀγαλλομένη νῦν, ὦ ἀθληφόρε θεία Ἀργυρῆ, καί Χριστοῦ ἀπολαύουσα τῆς θεϊκῆς λαμπρότητος τούς σέ τιμῶντας καταλάμπρυνον.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Τὸ θῆλυ, ὦ Ἀργυρῆ πανεύφημε, ἀρρενωθέν τήν ὀφρύν, τοῦ καυχωμένου πρῴην ἀναιδῶς, καταστρέψαι εὐσέβειαν τῇ ἀσθενείᾳ σώματος καί σθένει θείῳ καταβέβληκε.

Δόξα.

Σταυρῷ σε ἀνυψωθέντα, Κύριε, καλῶς πιστεύουσα τῶν αἰκισμῶν ἡ μάρτυς Ἀργυρῆ, ὑπομένει τήν βάσανον, τῇ παναλκεῖ δυνάμει σου, δι΄ ἧς βροτοί ἐνευρώθησαν.

Καί νῦν, Θεοτοκίον.

Σαφῶς σε τῆς τοῦ Θεοῦ σαρκώσεως νυμφῶνα, Ἄχραντε, και λογικόν γινώσκων καί φαιδρόν, ἱκετεύω ρυσθῆναί με νόσων ψυχῆς καί σώματος καί πειρασμῶν καί περιστάσεων.

Κανών α΄,

Ὠδή γ΄, τῆς Ἑορτῆς

Ὠδὴ γ΄, τῶν Μυροφόρων

Ἦχος β΄. Ὁ Εἱρμὸς

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεός, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὰς παλάμας Ἰησοῦ, προσηλώσας ἐν Σταυρῷ τὰ ἔθνη πάντα, ἐκ τῆς πλάνης συλλαβών, πρὸς ἐπίγνωσιν τὴν σήν, συνεκαλέσω Σωτήρ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰουδαίων ὁ λαός, τῷ Πιλάτῳ ἐκβοᾷ· Ἀπόλυσόν μοι τὸν κακοῦργον λῃστήν, ἆρον, ἆρον, σταύρωσον τὸν ἀναμάρτητον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Μακαρία εἶ Σεμνή, ἡ ἐκ ῥίζης Ἰεσσαί, ἐξ ἧς ἡ ῥάβδος, καὶ τὸ ἄνθος ὁ Χριστός, κατὰ σάρκα δι΄ ἡμᾶς, ἀναβλαστήσασα.

Ὠδὴ γ΄.

Ἦχος δ΄ Εὐφραίνεται ἐπί σοί.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Λαμπρύναντος σήν ψυχήν τοῦ θείου ἔρωτος, σεμνή, βάσανον τῆς σαρκός ἠλόγησας καί τούς αἰκισμούς κατεφρόνησας.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἰσχύϊ τοῦ Παντουργοῦ, τήν τοῦ ἀλάστορος ὀφρύν ἔρριψας, και ὡς κόνιν πάντα συντρίψασα, τά ὀστᾶ αὐτοῦ διεσκόρπισας.

Δόξα.

Αἱμάτων σου αἱ ῥοαΐ, πῦρ ἀπιστίας, Ἀργυρῆ, ἔσβεσαν, τούς ἀσεβεῖς δέ ἅπαντας ἤρδευσαν τῆς πίστεως νάμασιν.

Καί νῦν. Θεοτοκίον.

Ἐμοῦ, ἁγνή, τοῦ οἰκτροῦ, ἁμαρτωλότερος οὐδείς ἐπί γῆς, ὅθεν βοῶ σοι, Δέσποινα, ἵλεως γενοῦ μοι καί σῶσόν με.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Εἶτα ἀναγινώσκεται τὸ

Κοντάκιον τῆς Εορτῆς.

Ἦχος β΄. Χῦμα

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας, ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Κάθισμα τῆς Ἁγίας.

Ἦχος α΄. Τόν τάφον σοὺυ Σωτήρ.

Ἀνδρείᾳ τήν ψυχήν, Ἀργυρῆ, ὡπλισμένη, παρέδωκας σαυτήν εἰς παντοίας βασάνους, τῷ πόθῳ τοῦ Κτίστου σου φλεγομένη καί ἔρωτι· ὅθεν ἤλεγξας τήν τοῦ τυράννου μανίαν καί διάδημα παρά Χριστοῦ ἐκομίσω τῆς νίκης λαμπρότατον.

Δόξα. Καὶ νῦν...

Κάθισμα τῆς ἑορτῆς

Ἦχος β΄. Τῶν μαθητῶν σου.

Τῶν Μαθητῶν σου ὁ χορός, σὺν Μυροφόροις γυναιξίν, ἀγάλλεται συμφώνως· κοινὴν γὰρ ἑορτὴν σὺν αὐταῖς ἑορτάζουσιν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως, καὶ δι΄ αὐτῶν βοῶμέν σοι, Φιλάνθρωπε Κύριε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Σὺ γὰρ εἶ ὁ Βασιλεὺς...*

Κοντάκιον.

δ΄. Ἐπεφάνης σήμερον.

Ὡς σελήνη πάμφωτος ἔλαμψας κόσμῳ, ἐφαπλοῦσα τῶν πόνων σοὺ

μαρμαρυγάς, ὦ Ἀργυρῆ, καί ἰαμάτων τοῖς κράζουσι: χαίροις μαρτύρων τό κλέος καί καύχημα. .

Ὁ Οἶκος.

Ἱερωτάτην καί θείαν ἐν πίστει συγκροτοῦμεν πανήγυριν, ἅπαντες οἱ πιστοί φιλομάρτυρες, σοῦ τῆς ὑπέρ ἀργύριον καί χρυσίον λαμπροτέρας πανευκλεοῦς ἀθληφόρου νεομάρτυρος Ἀργυρῆς, ἐπιτελοῦντες τήν παμφαεστάτην καὶ ἔνδοξόν σου μνήμην γεραίροντες χαρμονικῶς τά ὑπέρ ἄνθρωπον παλαίσματα, τάς ἀριστείας καί τοὺς πόνους, οὕς ὑπέστης, τοῦ διατηρῆσαι τήν τε ἐν γάμῳ παρθενίαν καί τὴν ἀληθῆ πίστιν τοῦ οὐρανίου παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἀμόλυντα καΐ αἰτούμενοι τυχεῖν, ταῖς ἱεραῖς σου καί ἐνθέρμοις πρός αὐτόν δεήσεσι, τῆς οὐρανίου ἐκείνης μακαριότητος, ἔνθα οἱ χοροί ἀγάλλονται τῶν βοώντων: χαίροις μαρτύρων τό κλέος και καύχημα.

Συναξάριον.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας ἐνδόξου Νεομάρτυρος ἐν Πικριδίῳ Κωνσταντινουπόλεως τόν Χριστόν ὁμολογήσασα και βασάνους ὑποστᾶσα ἐν φυλακῇ τελειοῦται, ἐν ἔτει αψκε΄ (1725).

Στίχοι:

Ἢ Ἀργυρῆ δέ τῆς φυλακῆς βασάνοις,

ὑπέρ τό ἀργύριον ἡμᾶς φαιδρύνει.

Μαρτυρικόν λάβεν Ἀργυρῆ στέφανον ἐν τριακάδι,

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου.

Στίχοι

Ὡς ἀμνὸς Ἰάκωβος ἀχθεὶς ἐσφάγη,

Τῆς εὐσεβείας μηρυκίζων τοὺς λόγους.

Κτεῖνε, μάχαιρα φόνου, Ἰάκωβον ἐνὶ τριακοστῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κλήμεντος τοῦ Ποιητοῦ.

Στίχοι

Τέρψας ὁ Κλήμης γηγενεῖς ᾠδαῖς κάτω,

Ἀπῆλθε τέρψων, ὥσπερ οἶμαι, καὶ νόας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μαξίμου.

Στίχοι

Μάξιμος εὑρὼν τὴν ξὶ συλλαβὴν μέσην,

Τὸ γαστρὸς ἡμῖν μηνύει μέσον ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς εὑρέσεως τῶν λειψάνων τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως, Ἐπισκόπου Ἀμασείας.

Στίχοι

Χρὴ μηδὲ νεκρὸν λανθάνειν Βασιλέα,

Βασιλέως θνήξαντα τοῦ ζῶντος χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Δονάτου, Ἐπισκόπου Εὐροίας.

Στίχοι

Τὶς μὴ Δονᾶτον δοξάσει ἐν τοῖς λόγοις,

Ὃν περ τὰ ἔργα πανταχοῦ ἐδόξασαν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

*Καταβασίες τοῦ Πάσχα*

*Ὠδὴ α΄. Ἦχος α΄.*

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

*Ὠδὴ γ΄.*

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

*Ὠδὴ δ΄.*

Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ᾽ ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος.

*Ὠδὴ ε΄.*

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μυρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

*Ὠδὴ ς΄.*

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

*Ὠδὴ ζ΄.*

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Ὠδὴ η΄.*

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...*

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (*Ἦχος α΄*)

*Στίχ.* Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Στίχ.* Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία Ἦχος α΄

Ὁ ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ· Χαῖρε· ὁ σὸς υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον τῆς Ἁγίας.

Ἦχος β΄.Γυναῖκες ἀκουτίσθητε.

Φρικτόν ἰδόντες θέαμα, οἱ τύραννοι ἐξέστησαν, ἦν γάρ ἐνόμιζον εἶναι γυναῖκα ἀσθενεστάτην, δρῶντες ὑπομένουσαν καρτερικῶς τάς βασάνους, ὑπό τόν φόβον ἔκραζον: τῆς Ἀργυρῆς Θεός μέγας, ὁ ταύτῃ ἰσχύν δωρήσας.

Καὶ τῆς Ἑορτῆς.

Ἐξαποστειλάριον τῶν Μυροφόρων

Ἦχος β΄ . Αὐτόμελον

Γυναῖκες ἀκουτίσθητε, φωνὴν ἀγαλλιάσεως, Τύραννον Ἅδην πατήσας, φθορᾶς ἐξήγειρα κόσμον, δράμετε φίλοις εἴπατε, τοῖς ἐμοῖς εὐαγγέλια· βούλομαι γὰρ τὸ πλάσμα μου, χαρὰν ἐκεῖθεν αὐγάσαι, ἐξ ἧς προῆλθεν ἡ λύπη.

Εἰς τούς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν

Στιχηρά Προσόμοια τῆς Ἁγίας

τέσσαρα, δευτεροῦντες το α΄.

Ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

ΑΙΝΟΙ . Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Πολυειδεῖς ὁ πανοῦργος ἐχθρός σου ἤγειρε τούς πειρασμούς καί πάθη, ἀλλά κάραν τήν τούτου συνέτριψας, πανθαύμαστε Ἀργυρῆ, τῇ ἀνδρικῇ καρτερίᾳ σου, διό χορῷ σε γυναίων τῶν ἱερῶν συνηρίθμησεν ὁ Πλάστης σου.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Πολυειδεῖς ὁ πανοῦργος ἐχθρός σου ἤγειρε τούς πειρασμούς καί πάθη, ἀλλά κάραν τήν τούτου συνέτριψας, πανθαύμαστε Ἀργυρῆ,

τῇ ἀνδρικῇ καρτερίᾳ σου, διό χορῷ σε γυναίων τῶν ἱερῶν συνηρίθμησεν ὁ Πλάστης σου.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τοῦ δορωμένου θανάτου σύ κατεφρόνησας, ὑπέρ τοῦ ἀοράτου, Ἀργυρῆ σου Σωτῆρος, καί πάσας τάς βασάνους ὑπέστης στερρῶς καί τόν βίαιον θάνατον· καί διά τοῦτο ἐστέφθης χειρί αὐτοῦ, θείοις στέμμασιν ἀθλήσεως.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Νενοηκώς τῆς ψυχῆς σου, σοφέ, εὐγένειαν, καί τό τῆς διανοίας στερεόν ὁ Δεσπότης ἐνέταξεν, Ἰάκωβε, τῷ χορῷ τὼν μαθητῶν τῶν προκρίτων αὐτοῦ καί ἐν τοῖς ἔθνεσι πᾶσι τοῦτον αὐτόν καταγγέλλειν σέ ἀπέστειλε.

Δόξα... Ἦχος πλ. α΄

Δεῦτε, φιλομάρτυρες πάντες, τήν Χριστοῦ παρθενομάρτυρα Ἀργυρῆν, συνελθόντες εὐφημήσωμεν, σήμερον γάρ τόν στέφανον τῆς ἀθλήσεως, παρ᾽ αὐτοῦ, νομίμως ἀθλήσασα, ἀπείληφε. ὑπερήφανον ὄφιν τῇ δυνάμει τοῦ Σταυροῦ, τῇ εἱρκτῇ κατασυντρίψασα· τήν ὀρθόδοξον πίστιν ρωμαλαίαις φρεσίν, ὑπέρ ἥλιον φαιδρύνασα. Συγχάρητε οὖν, ἀγγέλων τά τάγματα καί μαρτύρων οἱ δῆμοι, ἅμα σύν ἡμῖν τοῖς ἐπί γῆς, πανηγυρίζοντες καί δοξάζοντες αὐτήν, τήν τό ἀθλητικώτατον αὐτῆς σκῆνος τῇ γῇ δωρησαμένην, ἰατρεῖον παθῶν ψυχικῶν καί δεινῶν περιστάσεων.

Καὶ νῦν...Τῆς ἑορτῆς . Ἦχος β΄

Αἱ Μυροφόροι γυναῖκες ὄρθρου βαθέος, ἀρώματα λαβοῦσαι, τοῦ Κυρίου τὸν τάφον κατέλαβον· ἅπερ δὲ οὐκ ἤλπιζον εὑροῦσαι, διελογίζοντο εὐλαβούμεναι τοῦ λίθου τὴν μετάθεσιν, καὶ πρὸς ἀλλήλας διελέγοντο· Ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ ἐστιν, ἡ τοῦ Πιλάτου κουστωδία, καὶ ἀκριβὴς ἀσφάλεια; Γέγονε δὲ μηνυτής, τῶν ἀγνοουσῶν Γυναικῶν, ἐξαστράπτων Ἄγγελος, καὶ φάσκων πρὸς αὐτάς· Τί μετὰ θρήνων ζητεῖτε τὸν ζῶντα, καὶ ζωοποιήσαντα τὸ γένος τῶν βροτῶν; ἐξηγέρθη Χριστός ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ὡς παντοδύναμος, παρέχων πᾶσιν ἡμῖν ἀφθαρσίαν καὶ ζωήν, φωτισμὸν καὶ τὸ μέγα ἔλεος.

Δοξολογία Μεγάλη. Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον. Τῆς Ἁγίας. Ἦχος δ΄.*

*Ταχὺ προκατάλαβε.*

Τυράννους κατήσχυνας ἐν ταῖς βασάνοις, σεμνή δειχθεῖσα, πολύαθλε, ὥσπερ ἀδάμας στερρός, Χριστοῦ μάρτυς ἔνδοξε, ἔδειξας ἐναθλοῦσα πρός Χριστόν τόν Σωτῆρα, ἔρωτά τε καί ζῆλον και ἀκόρεστον πόθον· δι᾽ ὅ σε, Ἀργυρῆ, αὐτός ἀξίως ἐδόξασε.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ἅπαξ ὑπὸ τοῦ Ἱερέως*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*καὶ δὶς ὑπὸ τῶν χορῶν.*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Ἀντίφωνον α΄*

*Ἦχος β΄*

*Στίχ.* Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

*Ἀντίφωνον β΄*

*Ἦχος ὁ αὐτὸς*

*Στίχ.* Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ΄ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

*Στίχ.* Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

*Στίχ.* Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

*Στίχ.* Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Δόξα Πατρὶ...Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

*Ἀντίφωνον Γ΄*

*Ἦχος πλ. α΄*

*Στίχ.* Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Στίχ.* Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Στίχ.* Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Στίχ.* Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἰσοδικὸν

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

*ΑΠΟΛΥΤΙΚΙΑ*

Ἀπολυτίκια τὰ τῆς Ἑορτῆς

Ἦχος β´

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος β´

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἦχος β´

Ταῖς μυροφόροις Γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Τῆς Ἁγίας. Ἦχος δ´.

Ταχὺ προκατάλαβε.

Τυράννους κατήσχυνας ἐν ταῖς βασάνοις, σεμνή δειχθεῖσα, πολύαθλε, ὥσπερ ἀδάμας στερρός, Χριστοῦ μάρτυς ἔνδοξε, ἔδειξας ἐναθλοῦσα πρός Χριστόν τόν Σωτῆρα, ἔρωτά τε καί ζῆλον και ἀκόρεστον πόθον· δι᾽ ὅ σε, Ἀργυρῆ, αὐτός ἀξίως ἐδόξασε.

Ἀπολυτίκιον τοῦ Ναοῦ.

Κοντάκιον τῆς Ἑορτῆς.

Κοντάκιον

Ἦχος β´. Αὐτόμελον

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας, ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ´

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος

Προκείμενον. Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρός Ῥωμαίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα.

(Κεφ. η´28-39)

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; κα-θὼς γέγραπται ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα. (γ´) Ἦχος δ´.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Μάρκον.

(Κεφ. ε´ 24-34

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

*Εἰς τό Ἐξαιρέτως*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Κοινωνικὸν*

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς...»*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἂν ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. Τήρησον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλουΐα.

*ἦχος β´*

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Απόλυσις:

Ὡς ἀκολούθως:

ΔΙΑΚΟΝΟΣ: Τοῦ Κυρίου δεηθῶμεν

ΧΟΡΟΣ: Κύριε, ἐλέησον

ΙΕΡΕΥΣ: Εὐλογία Κυρίου καὶ ἔλεος Αὐτοῦ ἔλθοι ἐφ' ἡμᾶς, τῇ αὐτοῦ θεία χάριτι καὶ φιλανθρωπία πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

ΧΟΡΟΣ: Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.Κύριε, ἐλέησον (γ') Πάτερ Ἅγιε εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ἁγίου τοῦ Ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακείμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·

Χριστός ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Καλλιτεχνική ἐπιμέλεια

ἔγινε ἀπό τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας